διαβάλλειν βουλόμενοι ταῦτα λοιδοροῦσιν. ἐγὼ δὲ οὕτω 8
πολλοῦ ἐδέησα τῶν τετρακοσίων γενέσθαι, ὥστε οὐδὲ
τῶν πεντακισχιλίων κατελέγην. δεινὸν δέ μοι δοκεῖ εἶ-
ναι ὅτ', εἰ μὲν περὶ ἰδίων συμβολαίων ἀγωνιζόμενον
οὕτω φανερῶς ἐξήλεγχον αὐτὸν ἀδικοῦντα, οὐδ' ἂν αὐ-
τὸς ἠξίωσε τοιαῦτα ἀπολογούμενος ἀποφεύγειν, νυνὶ δὲ
περὶ τῶν τῆς | πόλεως κρινόμενος οἰήσεται χρῆναι ἐμοῦ
κατηγορῶν ὑμῖν μὴ δοῦναι δίκην.

Ἔτι δὲ κἀκεῖνο θαυμαστὸν νομίζω Νικόμαχον ἑτέροις 9
ἀδίκως μνησικακεῖν ἀξιοῦν, ὃν ἐγὼ ἐπιβουλεύσαντα τῷ
πλήθει ἀποδείξω. καί μου ἀκούσατε· δίκαιον γάρ, ὦ
ἄνδρες δικασταί, περὶ τῶν τοιούτων ἀνθρώπων τὰς
τοιαύτας κατηγορίας ἀποδέχεσθαι, οἵτινες τότε συγκατα-
λύσαντες τὸν δῆμον νυνὶ δημοτικοί φασιν εἶναι. ἐπειδὴ 10
γὰρ ἀπολομένων τῶν νεῶν ἡ μετάστασις ἐπράττετο, Κλεο-
φῶν τὴν βουλὴν ἐλοιδόρει, φάσκων συνεστάναι καὶ 〈οὐ〉
τὰ βέλτιστα βουλεύειν τῇ πόλει. Σάτυρος δ' ὁ Κηφι- [XIII 12
σιεὺς βουλεύων ἔπεισε τὴν βουλὴν δήσαντας αὐτὸν πα-
ραδοῦναι δικαστηρίῳ. οἱ δὲ βουλόμενοι αὐτὸν ἀπολέσαι, 11
δεδιότες μὴ οὐκ ἀποκτείνωσιν ἐν τῷ δικαστηρίῳ, πεί-
θουσι Νικόμαχον νόμον ἀποδεῖξαι ὡς χρὴ καὶ τὴν βου-
λὴν συνδικάζειν. καὶ ὁ πάντων οὗτος πονηρότατος οὕ-
τως φανερῶς συνεστασίασεν, ὥστε τῇ ἡμέρᾳ ᾗ ἡ κρίσις
ἐγένετο ἀποδεῖξαι τὸν νόμον. Κλεοφῶντος τοίνυν, ὦ 12
ἄνδρες δικασταί, ἕτερα μὲν ἄν τις ἔχοι κατηγορῆσαι.
τοῦτο δὲ παρὰ πάντων ὁμολογεῖται, ὅτι οἱ καταλύοντες
τὸν δῆμον ἐκεῖνον ἐβούλοντο μάλιστα τῶν πολιτῶν ἐκ-
ποδὼν γενέσθαι, καὶ ὅτι Σάτυρος καὶ Χρέμων ὁ τῶν
τριάκοντα γενόμενος οὐχ ὑπὲρ ὑμῶν ὀργιζόμενοι Κλεο-
φῶντος κατηγόρουν, ἀλλ' ἵνα ἐκεῖνον ἀποκτείναντες αὐ-
τοὶ ὑμᾶς κακῶς ποιῶσι. καὶ ταῦτα διεπράξαντο διὰ τὸν 13

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481120/235 UNIVERSITÄT LEIPZIG